# Ζάμολξις Ζάλμοξις

+ ιατροί

Honneurs publics rendus aux médecins. — Λεξ. Αρχ. Daremberg T. Γ. σ. 1697 b.

De bonne heure, la reconnaissance publique a divinisé les médecins. Aesculape, Podalire, Machaon, Chiron, le Thrace Zalmoxis (32), le Scythe Toxaris . . .

(32) Ηροδ. IV. 95. Πλατ. Χαρμίδης 244.

« Κάγω ακούσας αυτδ επαινέσαντος ανεθάρρησά τε, καί κατα σμικρον παλιν η θρασύτης ξυνηγείρετο και ανεζωπυρούμην. και είπον. Τοιδτον τοίνυν εστι, ω Χαρμίδη, και το ταύτης της επωδης. έμαθον δ' αυτην εγω εκει επι στρατιας παρά τινος των Θρακων των Ζαλμόξιδος ιατρων, οι λέγονται η απαθανατίζειν. έλεγε δε ο Θραξ ούτος, ότι ταυτα μεν ιατροι οι Έλληνες, ά νυν δη εγω έλεγον, καλως λέγοιεν· αλλα Ζάλμοξις έφη, λέγει ο ημέτερος βασιλευς, θεος ων, ότι ώσπερ οφθαλμους άνευ κεφαλης ου δει επιχειρειν ιασθαι ουδε κεφαλην άνευ σώματος, ούτως ουδε σωμα άνευ ψυχης, αλλα τούτο η αίτιον είη τδ διαφεύγειν τους παρα τοις Έλλησιν ιατρους τα πολλα νοσήματα, ότι το όλον αμελοιεν οδ δέοι την επιμέλειαν ποιεισθαι, οδ μη καλως έχοντος αδύνατα είη το ~~με~~ μέρος ευ έχειν. πάντα γαρ έφη εκ της ψυχης ωρμησθαι και τα κακα και τα αγαθα τω σώματι και παντι τω ανθρώπω, η εκειθεν επιρρειν ώσπερ εκ της κεφαλης επι τα όμματα· δειν ουν εκεινο και πρωτον και μάλιστα θεραπεύειν, ει μέλλει και — Πλάτων Χαρμίδης V.

## Ζάλμοξις

## Ἐπῳδαί.

τα της κεφαλῆς ἢ τα τοῦ ἄλλου σώματος καλῶς ἔχειν. θεραπεύεσθαι δὲ τὴν ψυχὴν ἔφη ὦ μακάριε, ἐπῳδαῖς τισι· τὰς δ' ἐπῳδὰς ταύτας τοὺς λόγους εἶναι τοὺς καλούς· ἐκ δὲ τῶν τοιούτων λόγων ἐν ταῖς ψυχαῖς σωφροσύνην ἐγγίγνεσθαι. ἧς ἐγγενομένης καὶ παρούσης ῥᾴδιον εἶναι τὴν ὑγίειαν καὶ τῇ κεφαλῇ καὶ τῷ ἄλλῳ σώματι πορίζειν· διδάσκων οὖν με τό τε φάρμακον καὶ τὰς ἐπῳδάς, ὅπως, ἔφη, τῷ φαρμάκῳ τούτῳ μηδείς σε πείσει τὴν αὑτοῦ κεφαλὴν θεραπεύειν ὃς ἂν μὴ πρῶτον παράσχῃ τῇ ἐπῳδῇ ὑπὸ σοῦ θεραπευθῆναι, καὶ γὰρ νῦν, ἔφη, τοῦτ' ἔστι τὸ ἁμάρτημα περὶ τοὺς ἀνθρώπους, ὅτι χωρὶς ἑκατέρου, σωφροσύνης τε καὶ ὑγιείας, ἰατροί τινες ἐπιχειροῦσιν εἶναι· καί μοι πάνυ σφόδρα ἐνετέλλετο μήτε πλούσιον οὕτω μηδένα εἶναι μήτε γενναῖον μήτε καλόν, ὃς ἐμὲ πείσει ἄλλως ποιεῖν. ἐγὼ οὖν — ὤμοσα γὰρ αὐτῷ, καί μοι ἀνάγκη πείθεσθαι — πείσομαι οὖν, καὶ σοί, ἐὰν μὲν βούλῃ κατὰ τὰς τοῦ ξένου ἐντολὰς τὴν ψυχὴν πρῶτον παρασχεῖν ἐπᾷσαι ταῖς τοῦ Θρᾳκὸς ἐπῳδαῖς, προσοίσω τὸ φάρμακον τῇ κεφαλῇ· εἰ δὲ μή, οὐκ ἂν ἔχοιμεν ὅ,τι ποιοῖμέν σοι, ὦ φίλε Χαρμίδη.

νι . . . . . . ὁ μὲν σοι ἤδη πάρεστιν ὡς λέγει Κριτίας ὅδε σωφροσύνη ἢ εἶ σώφρων ἱκανῶς, οὐδὲν ἔτι σοι ἔδει οὔτε τῶν Ζαλμόξιδος οὔτε τῶν Ἀβάριδος τοῦ Ὑπερβορέου ἐπῳδῶν. .

ΑΚΑΔΗΜΙΑ ΑΘΗΝΩΝ

Τηλεγραφικὴ Διεύ[illegible] πούλην - Σηλυβρίαν.

Ἐν Σηλυβρίᾳ τῇ ........ 192
(Θρᾴκη)

Μ. Α. ΣΤΑΜΟΥΛΗΣ